οὐδέν, προσηγόρευκε πρότερος δ' οὐδένα
πλὴν ἐξ ἀνάγκης, γειτνιῶν παριών τ', ἐμὲ
τὸν Πᾶνα· καὶ τοῦτ' εὐθὺς αὐτῷ μεταμέλει,
εὖ οἶδ'. Ὅμως οὖν τῶι τρόπωι τοιοῦτος ὢν
χήραν γυναῖκ' ἔγημε, ⟨τε⟩τελευτηκότος
αὐτῆι νεωστὶ τοῦ λαβόντος τὸ πρότερον
ὑοῦ τε καταλελ⟨ε⟩ιμμένου μικροῦ τότε.
Ταύτῃ ζυγομαχῶν οὐ μόνον τὰς ἡμέρας,
ἐπιλαμβάνων δὲ καὶ τὸ πολὺ νυκτὸς μέρος,
ἔζη κακῶς· θυγάτριον αὐτῷ γίνεται·
ἔτι μᾶλλον. Ὡς δ' ἦν τὸ κακὸν οἷον οὐθὲν ἂν
ἕτερον γένοιθ' ὁ βίος τ' ἐπίπονος καὶ πικρός,
ἀπῆλθε πρὸς τὸν ὑὸν ἡ γυνὴ πάλιν
τὸν πρότερον αὐτῆι γενόμενον. Χωρίδιον
τούτῳ δ' ὑπάρχον ἦν τι μικρὸν ἐνθαδὶ
ἐν γειτόνων, οὗ διατρέφει νυνὶ κακῶς
τὴν μητέρ' αὑτοῦ πιστὸν οἰκέτην θ' ἕνα
πατρῷον. Ἤδη δ' ἐστὶ μειρακύλλιον
ὁ παῖς ὑπὲρ τὴν ἡλικίαν τὸν νοῦν ἔχων·
προάγει γὰρ ἡ τῶν πραγμάτων ἐμπειρία.
Ὁ γέρων δ' ἔχων τὴν θυγατέρ' αὐτὸς ζῆι μόνος
καὶ γραῦν θεράπαιναν, ξυλοφορῶν σκάπτων τ', ἀε[ὶ